τοῦ συμφέροντος, ἀλλ' ἐλήρησεν εἰπὼν ὁ Σοφοκλῆς ὅτι | (OR 110)

> ‘πᾶν τὸ ζητούμενον 98
> ἁλωτόν, ἐκφεύγει δὲ τἀμελούμενον’

καὶ πάλιν αὖ τὰ πράγματα διαιρῶν (fr. 759)

> ‘τὰ μὲν διδακτὰ μανθάνω, τὰ δ' εὑρετὰ
> ζητῶ, τὰ δ' εὐκτὰ παρὰ θεῶν ᾐτησάμην’.

τί γὰρ εὑρετὸν ἢ τί μαθητόν ἐστιν ἀνθρώποις, εἰ πάντα περαίνεται κατὰ τύχην; ποῖον δ' οὐκ ἀναιρεῖται βουλευτήριον πόλεως ἢ ποῖον οὐ καταλύεται συνέδριον βασιλέως, εἰ ὑπὸ τῇ Τύχῃ πάντα ἐστίν; ἣν τυφλὴν λοιδοροῦμεν, ὡς τυφλοὶ περιπίπτοντες αὐτῇ· τί δ' οὐ μέλλομεν, ὅταν ὥσπερ ὄμματα τὴν εὐβουλίαν ἐκκόψαντες αὐτῶν τοῦ βίου τυφλὴν χειραγωγὸν B
λαμβάνωμεν;

**3.** *Καίτοι* φέρε λέγειν τινὰ ἡμῶν ὡς τύχῃ τὰ τῶν βλεπόντων πράγματα, οὐκ ὄψις οὐδὲ ‘ὄμματα φωσφόρα’, φησὶν ὁ Πλάτων (Tim. 45b, 67b), καὶ τύχῃ τὰ τῶν ἀκουόντων, οὐ δύναμις ἀντιληπτικὴ πληγῆς ἀέρος δι' ὠτὸς καὶ ἐγκεφάλου προσφερομένης· καλὸν δ' [ἦν], ὡς ἔοικεν, εὐλαβεῖσθαι τὴν αἴσθησιν. ἀλλὰ μὴν τὴν ὄψιν καὶ ἀκοὴν καὶ γεῦσιν καὶ ὄσφρησιν καὶ τὰ λοιπὰ μέρη τοῦ σώματος †δυνάμεως αὐτῶν ὑπηρεσίαν εὐβουλίας καὶ φρονήσεως ἡ φύσις ἤνεγκεν ἡμῖν, καὶ ‘νοῦς ὁρῇ καὶ νοῦς ἀκούει, τἄλλα κωφὰ καὶ τυφλά’ (Epich. fr. 249).